Universitätsbibliothek Paderborn

# Theodōritu Episkopu Kyru Kai Eyagriu Scholastiku Ekklēsiastikē Istoria, Eklogai Apo Tōn Istoriōn Philostorgiu Kai Theodōru

**Theodoretus <Cyrrhensis>**

**Mogvntiae, 1679**

XXIX. De Didymo Alexandrino & Ephraem Syro.

urn:nbn:de:hbz:466:1-14162

Visual Library

A

## Cap. XXIX.

*De Didymo Alexandrino & Ephræm Syro.*

PEr idem tempus, Edessæ quidem Ephræm admirabilis, Alexandriæ vero florebat Didymus; uterque adversus dogmata veritati contraria libros conscribens. Et Ephræm quidem, Syrorum utens lingua, spiritalis gratiæ radios diffundebat. Nam cùm Græcas litteras non attigisset, multifidos tamen Græcorum errores confutavit: omnesque hæreticorum fraudes infirmas esse ostendit. Et quoniam Harmonius Bardesanis filius cantica quædam olim composuerat, & modo- B rum suavitati impietatem admiscens, audientium animos demulcebat, & ad exitium pertrahebat; ipse modorum compositionem ab illo mutuatus, pietatem canticis permiscuit, & suavissimum simul ac utilissimum medicamentum audientibus exhibuit. Atque hæc cantica festos Martyrum dies lætiores ac splendidiores etiamnum efficiunt. Didymus vero cum à puero luminibus orbatus fuisset, Poeticam nihilominus ac Rhetoricam artem didicit. Arithmeticam præterea ac Geometriam & Astronomiam; Ari- C stotelis item syllogismos & Platonis facundiam aurium sensu percepit, non tanquam disciplinas, quæ veritatem docerent, sed velut tela quibus veritas adversus mendacium uti potest. Sacræ quoque Scripturæ non litteras solum, sed & illarum sensus edidicit. Inter Monachos igitur & virtutis studiosos cultores, isti quos diximus tunc temporis enituere.

## Κεφ. κθ.

Περὶ Διδύμου τοῦ Ἀλεξανδρέως καὶ Ἐφραὶμ τοῦ Σύρου.

ΚΑτὰ τοῦτον τὸν χρόνον, ἐν Ἐδέσσῃ μὲν Ἐφραὶμ ὁ θαυμάσιος, ἐν Ἀλεξανδρείᾳ δὲ διέπρεπε Δίδυμος, κατὰ τῶν ἀντιπάλων τῆς ἀληθείας δογμάτων συγγράφοντες. καὶ ὁ Ἐφραὶμ μὲν τῇ Σύρων κεχρημένος φωνῇ, τῆς πνευματικῆς χάριτος τὰς ἀκτῖνας ἠφίει· παιδείας γὰρ οὐ γεγευμένος Ἑλληνικῆς, τὰς πολυσχιδεῖς τῶν Ἑλλήνων διήλεγξε πλάνας, καὶ πάσης αἱρετικῆς κακοτεχνίας ἐγύμνωσε τὴν ἀσθένειαν· καὶ ἐπειδὴ Ἁρμόνιος ὁ Βαρδησάνου, ᾠδάς τινας συντεθείκει πάλαι, καὶ τῇ τοῦ μέλους ἡδονῇ τὴν ἀσέβειαν κεράσας, κατεκήλει τοὺς ἀκούοντας καὶ πρὸς ὄλεθρον ἤγρευε, τὴν ἁρμονίαν τοῦ μέλους ἐκεῖθεν λαβὼν ἀνέμιξε τὴν εὐσέβειαν, καὶ προσενήνοχε τοῖς ἀκούουσιν ἥδιστον ὁμοῦ καὶ ὀνησιφόρον φάρμακον· ταῦτα καὶ νῦν τὰ ᾄσματα, φαιδροτέρας τῶν νικηφόρων μαρτύρων τὰς πανηγύρεις ποιεῖ. ὁ δὲ Δίδυμος, παιδόθεν τῆς ὀπτικῆς ἐστερημένος αἰσθήσεως, καὶ ποιητικῶν καὶ ῥητορικῶν μετέλαχε παιδευμάτων· ἀριθμητικῆς τε καὶ γεωμετρίας· καὶ ἀστρονομίας, καὶ τῶν Ἀριστοτέλους συλλογισμῶν, καὶ τῆς Πλάτωνος εὐεπείας, διὰ τῶν ἀκοῶν εἰσεδέξατο τὰ μαθήματα, οὐχ ὡς ἀλήθειαν ἐκπαιδεύοντα, ἀλλ' ὡς ὅπλα τῆς ἀληθείας κατὰ τοῦ ψεύδους γιγνόμενα· καὶ μέντοι καὶ τῆς θείας γραφῆς μεμάθηκεν, οὐ μόνον τὰ γράμματα, ἀλλὰ καὶ τὰ τούτων νοήματα· ἐν μὲν οὖν ἀσκηταῖς καὶ τῆς ἀρετῆς φροντισταῖς, οὗτοι κατ' ἐκεῖνον διέλαμπον τὸν καιρόν.

## Cap. XXX.

*De Episcopis, qui eo tempore per Ponticam & Asianam Diœcesin floruerunt.*

INter Episcopos vero, Gregorii duo D illustres fuere, Nazianzenus ac Nyssenus. Quorum hic quidem frater; ille vero contubernalis fuit Basilii M. Et hi quidem in Cappadocia pro pietate decertantes, egregiam operam navarunt. In eodem certamine strenuè se gessit etiam Petrus, iisdem parentibus natus, quibus Gregorius atque Basilius; sed Gentilium disciplinis non perinde ac illi excultus, vitæ tamen splendore conspicuus. At in Pisidia Optimus, & Amphilochius in Licaonia, pro fide à

## Κεφ. λ.

Τίνες ἐν τῇ Ποντικῇ καὶ Ἀσιανῇ διέπρεπον ἐπίσκοποι κατὰ τοῦτον τὸν καιρόν.

ΕΝ ἐπισκόποις δὲ, Γρηγόριος ἑκάτερος, ὅ τε Ναζιανζοῦ, καὶ ὁ Νύσσης· ὁ μὲν ἀδελφὸς, ὁ δὲ σύσκηνός τε καὶ συνεργὸς τοῦ μεγάλου Βασιλείου τυγχάνων· οὗτοι μὲν οὖν ἐν Καππαδοκίᾳ τῆς εὐσεβείας ὑπερμαχοῦντες ἠρίστευον. συνηρίστευε δὲ αὐτοῖς καὶ Πέτρος, γεννήτορας μὲν Βασιλείῳ καὶ Γρηγορίῳ τοὺς αὐτοὺς ἐσχηκώς, τῆς δὲ θύραθεν παιδείας οὐ μετειληχὼς σὺν ἐκείνοις. τὰς δὲ τοῦ βίου μαρμαρυγὰς ἀφιείς· ἐν Πισιδίᾳ δὲ Ὄπτιμος, καὶ Ἀμφιλόχιος ἐν Λυκαο-